UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

Parisiis, 1644

VIII. Quod Hebraeos non oporteat recipi, nisi forte ex sincero corde conuersi fuerint.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

ANNO CHRISTI 787.

ὥσπερ γὰρ τὴν τῶν σεπτῶν εἰκόνων ὄψιν ἀφείλοντο ἐκ τῆς ἐκκλησίας, καὶ ἕτερα τινὰ ἔθη παραλελύκασιν, ἃ χρὴ ἀνανεωθῆναι, καὶ κατὰ τὴν ἔγγραφον καὶ ἄγραφον θεσμοθεσίαν οὕτως κρατεῖν. ὅσοι οὖν σεπτοὶ ναοὶ καθιερώθησαν ἐκτὸς ἁγίων λειψάνων μαρτύρων, ὁρίζομεν ἐν αὐτοῖς κατάθεσιν γίνεσθαι λειψάνων μετὰ καὶ τῆς συνήθους εὐχῆς. καὶ εἰ ἀπὸ τοῦ παρόντος τις εὑρεθῇ ἐπίσκοπος χωρὶς ἁγίων λειψάνων καθιερῶν ναόν, καθαιρείσθω, ὡς παραβεβηκὼς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

Sicut enim venerabilium imaginum vultum abſtulerunt ab eccleſia, ita & alios quoſdam mores deſeruerunt, quos & oportet renouari, & ſecundum ſcriptam & non ſcriptam legiſlationem denuo detineri. Quotquot ergo venerabilia templa conſecrata ſunt abſque ſanctis reliquiis martyrum, definimus in eis reliquiarum vna cum ſolita oratione fieri poſitionem. Et ſi a præſenti tempore inuentus fuerit epiſcopus abſque lipſanis conſecrare templum, deponatur, vt ille qui eccleſiaſticas traditiones tranſgreditur.

η'.

Ὅτι τοὺς Εβραίοις οὐ χρὴ δέχεσθαι, εἰ μήπου ἐξ εἰλικρινοῦς καρδίας ἐπιστρέψωσιν.

Επειδὴ πλανώμενοί τινες ἐκ τῆς τῶν Εβραίων θρησκείας, μυκτηρίζειν ἔδοξαν Χριστὸν τὸν θεόν, προσποιούμενοι Χριστιανίζειν, αὐτὸν δὲ ἀρνοῦνται, κρύβδην καὶ λαθραίως σαββατίζοντες, καὶ ἕτερα Ἰουδαϊκὰ ποιοῦντες· ὁρίζομεν τούτοις μήτε εἰς κοινωνίαν, μήτε εἰς εὐχήν, μήτε εἰς ἐκκλησίαν δέχεσθαι· ἀλλὰ φανερῶς ἔστωσαν κατὰ τὴν ἑαυτῶν θρησκείαν Εβραῖοι· μήτε τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε δοῦλον ὠνήσασθαι ἢ κτᾶσθαι. εἰ δὲ ἐξ εἰλικρινοῦς καρδίας καὶ πίστεως ἐπιστρέψῃ τις αὐτῶν, καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας, θριαμβεύων τὰ κατ' αὐτῶν ἔθη καὶ πράγματα, πρὸς τὸ καὶ ἄλλους ἐλεγχθῆναι καὶ διορθώσασθαι, τοῦτον προσδέχεσθαι καὶ βαπτίζειν, καὶ τοὺς παῖδας αὐτοῦ· καὶ ἀσφαλίζεσθαι αὐτοὺς ἀποστῆναι τῶν Εβραϊκῶν ἐπιτηδευμάτων. εἰ δὲ μὴ οὕτως ἔχοιεν, μηδαμῶς αὐτοὺς προσδέχεσθαι.

VIII.

Quod Hebræos non oporteat recipi, niſi forte ex ſincero corde conuerſi fuerint.

Quoniam errantes hi qui ex Hebræorum ſuperſtitione conſiſtunt, ſubſannare ſe Chriſtum Deum exiſtimant, ſimulantes Chriſtianizare, ipſum autem negant, clam & latenter ſabbatizantes, & alia Iudæorum more facientes: definimus hos neque in communionem, neque in orationem, neque in eccleſiam ſuſcipi; ſed manifeſte ſint ſecundum religionem ſuam Hebræi: neque pueros eorum baptizari, neque ſeruum * emi vel acquiri. Si vero ex ſincero corde ac fide conuerterit ſe quis eorum, & confeſſus fuerit ex toto corde, diuulgans mores eorum & res, vt alii etiam arguantur & corrigantur; hunc ſuſcipi & baptizari, & pueros eius: quin & * obſeruari eos, vt recedant ab Hebraicis adinuentionibus, definimus: alias autem nullatenus admittendos.

* *Gr.* emere vel poſſidere.

* cautos reddi